English text: World English Bible (public domain) Greek text: Westcott-Hort Greek New Testament (public domain)
Graphics: Copyright Stéphane Tibi and his licensors. All rights reserved. www.studymaps.org




## November 18 - John 9:24-34
## They Reject Him as a Sinner




| | |
|---|---|
| 24 Ἐφώνησαν οὖν τὸν ἄνθρωπον ἐκ δευτέρου ὃς ἦν τυφλὸς καὶ εἶπαν αὐτῷ· δός δόξαν τῷ θεῷ· ἡμεῖς οἴδαμεν ὅτι οὗτος ὁ ἄνθρωπος ἁμαρτωλός ἐστιν.<br>25 ἀπεκρίθη οὖν· ἐκεῖνος εἰ ἁμαρτωλός ἐστιν οὐκ οἶδα· ἓν οἶδα ὅτι τυφλὸς ὢν ἄρτι βλέπω. | 24 So they called the man who was blind a second time, and said to him, “Give glory to God. We know that this man is a sinner.”<br>25 He therefore answered, “I don’t know if he is a sinner. One thing I do know: that though I was blind, now I see.” |

| | |
|---|---|
| 26 εἶπον οὖν αὐτῷ· τί ἐποίησεν σοι; πῶς ἤνοιξεν σου τοὺς ὀφθαλμούς;<br>27 ἀπεκρίθη αὐτοῖς εἶπον ὑμῖν ἤδη καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι; | 26 They said to him again, “What did he do to you? How did he open your eyes?”<br>27 He answered them, “I told you already, and you didn’t listen. Why do you want to hear it again? You don’t also want to become his disciples, do you?” |

| | |
|---|---|
| 28 καὶ ἐλοιδόρησαν αὐτὸν καὶ εἶπον· σὺ μαθητὴς εἶ ἐκείνου, ἡμεῖς δὲ τοῦ Μωϋσέως ἐσμὲν μαθηταί·<br>29 ἡμεῖς οἴδαμεν ὅτι Μωϋσεῖ λελάληκεν ὁ θεός, τοῦτον δὲ οὐκ οἴδαμεν πόθεν ἐστίν. | 28 They insulted him and said, “You are his disciple, but we are disciples of Moses.<br>29 We know that God has spoken to Moses. But as for this man, we don’t know where he comes from.” |

| | |
|---|---|
| 30 The man answered them, “How amazing! You don’t know where he comes from, yet he opened my eyes.<br>31 We know that God doesn’t listen to sinners, but if anyone is a worshiper of God, and does his will, he listens to him.<br>32 Since the world began it has never been heard of that anyone opened the eyes of someone born blind.<br>33 If this man were not from God, he could do nothing.” | 30 ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς· ἐν τούτῳ γὰρ τὸ θαυμαστόν ἐστιν, ὅτι ὑμεῖς οὐκ οἴδατε πόθεν ἐστὶν καὶ ἤνοιξεν μου τοὺς ὀφθαλμούς.<br>31 οἴδαμεν ὅτι ὁ θεὸς ἁμαρτωλῶν οὐκ ἀκούει. ἀλλ’ ἐάν τις θεοσεβὴς ᾖ καὶ τὸ θέλημα αὐτοῦ ποιῇ τούτου ἀκούει.<br>32 ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη ὅτι ἠνέῳξεν τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου·<br>33 εἰ μὴ ἦν οὗτος παρὰ θεοῦ οὐκ ἠδύνατο ποιεῖν οὐδέν. |

| | |
|---|---|
| 34 They answered him, “You were altogether born in sins, and do you teach us?” Then they threw him out. | 34 ἀπεκρίθησαν καὶ εἶπαν αὐτῷ ἐν ἁμαρτίαις σὺ ἐγεννήθης ὅλος καὶ σὺ διδάσκεις ἡμᾶς καὶ ἐξέβαλον αὐτὸν ἔξω. |